ἐσχισμέναι· οὔτε δὲ αἱ πολυσχιδεῖς; οὔτε αἱ ἀσχιδεῖς; A ἢ διότι ἐκ μὲν τῶν πολυσχιδῶν, διαπέπνευκε καὶ ἐξίκμακε μετὰ τοῦ ὑγροῦ τὸ πλεῖστον τοῦ γλυκέος; ἐν δὲ ταῖς μεμυκυίαις, πολὺ τὸ ὑδατῶδές ἐστι, διὰ τὸ μὴ ἠτμικέναι. αἱ δὲ ἐσχισμέναι μέν, μὴ εἰς πολλὰ δέ, ἀμφοτέρων τούτων ἐκτὸς εἰσὶ τῶν παθημάτων. ι Διὰ τί ταῖς καμίνοις ξηραινόμενα τὰ σῦκα σκληρότερα γίνεται, ἐὰν ψυχθῇ ἐν τῇ καμίνῳ, ἢ ἂν B ἐξαιρεθέντα ψυχθῇ; ἢ ὅτι ἐν μὲν τῇ καμίνῳ ἐξατμίζει πᾶν τὸ ὑγρὸν ὑπὸ τοῦ θερμοῦ· ἔξω δὲ περιεστηκὼς ὁ ἀὴρ ψύχρων, κωλύει τὸ ὑγρὸν ἐξιέναι καὶ συνίστασθαι; μᾶλλον γὰρ ἐξατμίζει. ἔστι δὲ τὰ μὲν ξηρά, σκληρά· τὰ δὲ ὑγρά, μαλακά. ια Διὰ τί παρὰ τὰ στρυφνὰ ὁ οἶνος καὶ τὸ ὕδωρ φαίνεται γλυκύτερα· οἷον ἐάν τις βαλάνους, ἢ μύρτα, ἢ τι τῶν C τοιούτων διατρώγῃ; ἢ εἰκότως, καθάπερ καὶ ἐπὶ τῶν ἄλλων; πᾶν γὰρ τὸ αὐτὸ παρὰ τὸ ἐναντίον μᾶλλον φαίνεται· οἱ δὲ τῶν ἐναντίων χυμοί, ἀντικείμενοί πως εἰσίν. ἢ ὅτι, καθάπερ ἐπὶ τῶν βαπτομένων, ὑπὸ τῶν στρυφνῶν ἡ γλῶττα προδιεργάζεται, καὶ οἱ πόροι ἀνοίγεται, ὥστε μᾶλλον διιέναι τὸ γλυκύ; καὶ γὰρ τὰ βαπτόμενα, τούτου ἕνεκεν προβρέχουσιν D ἐν τοῖς στρυφνοῖς, τὸ διεργασθὲν μᾶλλον δέχεσθαι τὴν βαφήν. ιβ Διὰ τί τὰ γλυκέα ἧττον δοκεῖ γλυκέα εἶναι θερμὰ ὄντα, ἢ ὅταν ψυχθῇ; πότερον ὅτι ἅμα δύο αἰσθήσεις γίνονται ἀμφοῖν· ὥστε ἡ τοῦ θερμοῦ ἐκκρούει τὴν ἑτέραν; ἢ ὅτι καὶ τὸ γλεῦκος θερμόν. ὥσπερ οὖν πῦρ γίνεται ἐπὶ πῦρ. κωλύει οὖν ἡ θερμότης. [ἢ] ὅτι τὸ πῦρ ἀφαιρεῖται τὰς δυνάμεις ἁπάντων, διὰ τὸ κινητικὸν εἶναι. ἐγγύτερον οὖν τοῦ E μεταβάλλειν ἐστὶ θερμὰ ὄντα· ἀποψυχθέντα δέ, ἕστηκεν. ιγ Διὰ τί ποτε τὰ ἄχυρα, τὰ μὲν σκληρὰ πέττει, τὰ δὲ πεπεμμένα, οὐ σήπει; ἢ ὅτι τὸ ἄχυρον θερμόν τε καὶ ὁλκόν ἐστι; τῇ μὲν οὖν θερμότητι, πέττει· τῷ δὲ ὁλκὸν εἶναι, τὸν ἰχῶρα τὸν σηπόμενον δέχεται· διὸ οὐ σήπει. ιδ Διὰ τί τὰ σῦκα, μαλακὰ καὶ γλυκέα ὄντα, λυμαίνεται τοὺς ὀδόντας; ἢ διὰ τὴν γλισχρότητα προσέρχεται τοῖς οὔλοις, καὶ F παρεμπίπτει διὰ τῶν ὀδόντων εἰς τὰ διὰ μέσου, διὰ τὸ μαλακὰ εἶναι, καὶ σῆψιν ποιεῖ ταχέως, ἅτε θερμὰ ὄντα; τάχα δὲ [ἴσως] καὶ διὰ τὴν σκληρότητα τῶν κεγχραμίδων, ἐν τῇ τούτων κατεργασίᾳ πονοῦσι ταχέως οἱ ὀδόντες.

dulcissimæ sint, nec multifidæ, aut omnino infissæ dulcedinem præstent? An quòd ex multifidis respirauit, euaporauítque cum humore pars dulcedinis plurima. In iis autem, quæ infissæ coierint, humoris diluti copia est, quòd nihil ferè inde exactum fuerit. At quæ fissæ quidem, sed tamen fissura multiplici sunt, immunes vtroque isto incômodo caruerunt. 10 Cur si ficus in furno siccantur, duriores efficiuntur, quàm si exemptæ foris refrigerẽtur? An quoniam in furno humor totus ex nimio calore euaporatur, foris aer circunfundens humorem contrahi, emanaréque prohibet: ita enim vt leuiter euaporetur potiùs accidit. Sunt autem, quæ siccent, dura: quę hument, mollia. 11 Cur ab acerbis vinum, aut aqua epota dulcior sentiatur: exempli gratia, si quis glandes, aut myrta, aut tale quid ori mandauerit? An meritò ita fiat, quemadmodùm vel in cæteris agitur: omnia nanque plenius eadem apud sua contraria innotescunt. Contrariorum autem sapores oppositi fermè inter se sunt. An vt res in iis est, quæ colore inficimus: ita etiam lingua acerbis conficitur illis, meatúsque suos patefieri patitur, vt dulce subire ampliùs possit. Res enim quasque inficiendas humoribus quibusdam acerbis antè immergimus, vt inde affectæ infici colore plenius, atque ineluibilius possint. 12 Cur dulcia, minus dulcia sentiantur calida, quàm refrigerata? Vtrum propterea quòd simul sensus duo existunt, id est calidi, & dulcis: itaque calidi sensus reliquum depellit, atque obfuscat. An quòd etiam succus dulcis calidus est, itaque ignis igni adiicitur: ergo calor est, qui impediat. An quòd ignis vires omniũ minuit, quia vim obtinet commutandi: calida igitur propiora mutationi sunt, refrigerata resident, sibíque iterum constant. 13 Cur paleæ, fructus duros, atque inconcoctos emolliunt, in maturitatémque adducunt, mites autem, & concoctos non putrefaciunt? An quòd palea. & calida, & attrahens est. Suo igitur calore concoquit & per vim illam attrahendi saniem omnem seuocat, atque imputridos seruat. 14 Qua de causa ficus, cùm molles, dulcésque sint, dentes offendant? An quia gingiuis sua lentitate adhærent, séque præmolles inter dentes insinuant, & putredinem per suum calorem citò conficiunt. Forsitan & ob granorum suorum duritiem dentes celeriter effatigant, cùm manducantur, conficiunturque.